ΕΡΜΙΟΝΗ.

ἦ καὶ πρόσω γαρ τῶν ἐμῶν ψαύσεις κακῶν;

ΑΝΔΡΟΜΑΧΗ.

ἰδοὺ σιωπῶ κἀπιλάζυμαι στόμα.

ΕΡΜΙΟΝΗ.

ἐκεῖνο λέξον, οὗπερ οὕνεκ' ἐστάλην.

ΑΝΔΡΟΜΑΧΗ.

λέγω σ' ἐγὼ νοῦν οὐκ ἔχειν ὅσον σε δεῖ.

ΕΡΜΙΟΝΗ.

λείψεις τόδ' ἁγνὸν τέμενος ἐναλίας θεοῦ;

ΑΝΔΡΟΜΑΧΗ.

εἰ μὴ θανοῦμαί γ'· εἰ δὲ μή, οὐ λείψω ποτέ.

ΕΡΜΙΟΝΗ.

ὡς τοῦτ' ἄραρε, κοὐ μενῶ πόσιν μολεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

ἀλλ' οὐδ' ἐγὼ μὴν πρόσθεν ἐκδώσω μέ σοι.

ΕΡΜΙΟΝΗ.

πῦρ σοι προσοίσω, κοὐ τὸ σὸν προσκέψομαι,

ΑΝΔΡΟΜΑΧΗ.

σὺ δ' οὖν κάταιθε· θεοὶ γὰρ εἴσονται τάδε.

ΕΡΜΙΟΝΗ.

καὶ χρωτὶ δεινῶν τραυμάτων ἀλγηδόνας.

ΑΝΔΡΟΜΑΧΗ.

σφάζ', αἱμάτου θεᾶς βωμόν, ἣ μέτεισί σε.

ΕΡΜΙΟΝΗ.

ὦ βάρβαρον σὺ θρέμμα καὶ σκληρὸν θράσος,
ἐγκαρτερεῖς δὴ θάνατον; ἀλλ' ἐγώ σ' ἕδρας
ἐκ τῆσδ' ἑκοῦσαν ἐξαναστήσω τάχα·
τοιόνδ' ἔχω σου δέλεαρ. ἀλλὰ γὰρ λόγους
κρύψω, τὸ δ' ἔργον αὐτὸ σημανεῖ τάχα.
κάθησ' ἑδραία· καὶ γὰρ εἰ πέριξ σ' ἔχει
τηκτὸς μόλυβδος, ἐξαναστήσω σ' ἐγώ,
πρίν, ᾧ πέποιθας, παῖδ' Ἀχιλλέως μολεῖν.

ΑΝΔΡΟΜΑΧΗ.

πέποιθα· δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα,
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,